# ΕΛΕΝΗ

ΕΛΕΝΗ

*Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,*
*ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον*
*λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.*
*Πρωτεὺς δ' ὅτ' ἔζη τῆσδε γῆς τύραννος ἦν,*
*[Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,]*
*ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,*
*Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰακοῦ.*
*τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασι,*
*Θεοκλύμενον ἄρσεν' [ὅτι δὴ θεοὺς σέβων*
*βίον διήνεγκ'] εὐγενῆ τε παρθένον*
*Εἰδώ, τὸ μητρὸς ἀγλάϊσμ' ὅτ' ἦν βρέφος·*
*ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραία γάμων,*
*καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ*
*τά τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,*
*προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.*